ἄγαμος, ἔπιδ', ἄτεκνος ἅτε βίοτον ἁ
μέλεος ἐς τὸν αἰὲν ἕλκω χρόνον.

ΧΟ. ὅρα παροῦσα, παρθέν' Ἠλέκτρα, πέλας,
μὴ κατθανών σε σύγγονος λέληθ' ὅδε·
οὐ γάρ μ' ἀρέσκει τῷ λίαν παρειμένῳ.

ΟΡΕΣΤΗΣ.

ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου,
ὡς ἡδύ μοι προσῆλθες ἐν δέοντί τε.
ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφὴ
καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός.
πόθεν ποτ' ἦλθον δεῦρο; πῶς δ' ἀφικόμην;
ἀμνημονῶ γάρ, τῶν πρὶν ἀπολειφθεὶς φρενῶν.
ΗΛ. ὦ φίλταθ', ὥς μ' ηὔφρανας εἰς ὕπνον πεσών.
βούλει θίγω σου κἀνακουφίσω δέμας;
ΟΡ. λαβοῦ λαβοῦ δῆτ', ἐκ δ' ὅμορξον ἀθλίου
στόματος ἀφρώδη πέλανον ὀμμάτων τ' ἐμῶν.
ΗΛ. ἰδού· τὸ δούλευμ' ἡδύ, κοὐκ ἀναίνομαι
ἀδέλφ' ἀδελφῇ χειρὶ θεραπεύειν μέλη.
ΟΡ. ὑπόβαλε πλευροῖς πλευρά, καὐχμώδη κόμην
ἄφελε προσώπου· λεπτὰ γὰρ λεύσσω κόραις.
ΗΛ. ὦ βοστρύχων πινῶδες ἄθλιον κάρα,
ὡς ἠγρίωσαι διὰ μακρᾶς ἀλουσίας.
ΟΡ. κλῖνόν μ' ἐς εὐνὴν αὖθις· ὅταν ἀνῇ νόσος
μανίας, ἄναρθρός εἰμι κἀσθενῶ μέλη.
ΗΛ. ἰδού. φίλον τοι τῷ νοσοῦντι δέμνιον,
ἀνιαρὸν ὂν τὸ κτῆμ', ἀναγκαῖον δ' ὅμως

206 ἐπὶ δ' *L* | ἅτε βίοτον] fort. ἀνυμέναιος  208 παροῦσ' ἠλέκτρα παρθένε, scripto β super ἠλέκτρα et α super παρθένε, *A*  211 νόσον *E*  212 τε Stob. fl. 100, 1, γε libri  215 δ' om. *L*  216 schol. τῶν πρὶν φρενῶν ἀπολειφθεὶς . . ἄλλως· τῶν πρίν: ἕως τούτου ὀφείλεις στίζειν  217 εὔφρανας *A*, sed εὔ in ras. scr. $A^2$, ηὔφρανας ceteri  218 κἀνακουφίσω scripto ζ super σ *E*  219 αἰθλίου *E*  220 τ' om. *B* add. *b*  221 τὸ βούλευμ' *L*  222 ἀδέλφ' ἀδελφᾶ *A*  223 ὑπὸβαλλε *E* | πλευρὰν *EG* | καὶ ἀχμώδη *A*, κἀχμώδη *B*  224 λεύσω *ABS* | κόραις γρ. νόσω *A*, schol. γράφεται λεύσσω νόσῳ  225 βοστρύχων πινῶδες ἄθλιον κάρα *a*, βόστρυχοι πινώδεις ἀθλίας κρατός $a^3$  227 ὅταν] Heath, ὅταν (ὅτ' ἂν *B*) μ' libri  228 μανιάς schol. (μανιάς μ' Porson) | ἔναρθρος *L* | μέλη] δέμας recentiores nonnulli libri  229 φίλον τι *B* | δέμνια Stob. fl. 100, 2  230 ὂν om. *E*, μὲν Stob. | ὄντα et antea δέμνια Hermann

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG